## Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ βιβλίον πρῶτον

509A 1. Οἱ μὲν σοφοὶ καὶ ἀγχίνοι καὶ τῶν ἱερῶν δογμάτων ἐπιστήμονες τὸ κάλλος τῆς ἀληθείας θαυμάζουσι καὶ ἐν παντὶ λόγῳ πεποίηνται τὸ συνιέναι δύνασθαι παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. Οὕτω γάρ, οὕτω ταῖς θεοπνεύστοις Γραφαῖς ἀκριβῆ καὶ διηρθρωμένον τὸν νοῦν ἐνερείδοντες φωτὸς μὲν τοῦ θείου τὰς ἑαυτῶν ἀναπιμπλᾶσι ψυχάς, ἀξιοζήλωτον δὲ πολιτείας ὀρθῆς καὶ ἐννομωτάτης ἀράμενοι καύχημα εἶεν ἂν καὶ ἑτέροις ὠφελείας τῆς ἀνωτάτω πρόξενοι. Γέγραπται γὰρ ὅτι · « Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τῷ πλησίον. »

Οἱ δὲ διάστροφοι τὴν καρδίαν καὶ τὴν εἰς νοῦν ἔχοντες ἐμπηρίαν, ἀμέτοχοί τε εἰς ἅπαν τοῦ θείου φωτός, τοῖς δόγμασι μὲν τῆς εὐσεβείας ἀντανίστανται, θρασυστομοῦσι δὲ λίαν καὶ τῆς ἀρρήτου κατεπαίρονται δόξης, καὶ παλιμφήμους ἱέντες φωνὰς « ἀδικίαν εἰς τὸ ὕψος λαλοῦσι », κατὰ τὸ ἐν ψαλμοῖς